Ephraem <Syrus>; Assemani, Giuseppe Simone [Hrsg.]: Sancti Patris Nostri Ephraem Syri Opera Omnia: quae exstant, graece, syriace, latine; in sex tomos distributa; ad MSS. Codices Vaticanos aliosque castigata, multis aucta, Nova interpretatione, Praefationibus, Notis, variantibus Lectionibus illustrata: Nunc primum sub Auspiciis Sanctissimi Patris ... Pontifecis Maximi e Bibliotheca Vaticana (Tomus Primus Graece, Et Latine)
1732 Seite 255



ρίου, κλαίοντες δὲ καὶ πενθοῦντες τῷ φρονήματι, A
Θεὸν δυσωποῦντες, ὅπως διαφυλάξῃ ἡμᾶς ἀπὸ παντὸς εἴδους πονηρίας, εἰς τὸ μὴ στερηθῆναι τῆς βασιλείας τῶν οὐρανῶν καὶ τῶν ἀγαθῶν ὧν ἡτοίμασε τοῖς εὐαρεστοῦσιν αὐτῷ. Τὸ πένθος οἰκοδομεῖ καὶ διαφυλάσσει· τὸ πένθος τὴν ψυχὴν ἀποσμήχει διὰ τῶν δακρύων, καὶ καθαρὰν αὐτὴν ἀποκαθίστησι. Τὸ πένθος σωφροσύνην γεννᾷ, ἡδονὰς ἀποκόπτει, ἀρετὰς κατορθοῖ. Καὶ τί ἔτι
B λέγω; Τὸ πένθος ὑπὸ Θεοῦ μακαρίζεται, καὶ ὑπὸ ἀγγέλων παρακαλεῖται. ὅθεν ἔλεγέν τις τῶν μαθητῶν τοῦ Κυρίου· ὁ γέλως ὑμῶν εἰς πένθος μεταστραφήσεται, καὶ ἡ χαρὰ εἰς κατήφειαν· ταπεινώθητε ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ Κυρίου, καὶ ὑψώσει ὑμᾶς. Τί δὲ ποιήσω ἐγὼ ὁ ἁμαρτωλὸς, ὁ μὴ πενθῶν καὶ κλαίων ἐμαυτὸν μετὰ κατανύξεως; λέγω γὰρ καὶ οὐ ποιῶ. οἴμοι, πῶς
C καταφρονῶ; οἴμοι, πῶς ἀμελῶ τῆς ἐμαυτοῦ σωτηρίας; οἴμοι, ὅτι ἐν γνώσει ἁμαρτάνω. Οἶδα ἐν τῷ ποιεῖν με τὸ κακὸν, καὶ οὐκ ἐκκλίνω ἐμαυτὸν τοῦ κακοῦ. Οἴμοι, ὅτι ἀναπολόγητός εἰμι· τοῖς γὰρ ῥήμασι λελόγισμαι μετὰ τῶν ἑστώτων ἐκ δεξιῶν· τοῖς δὲ ἔργοις ἕστηκα ἐξ εὐωνύμων. Σοὶ, Κύριε, τῷ μόνῳ ἀγαθῷ καὶ ἀμνησικάκῳ ἐξομολογοῦμαι τὴν ἁμαρτίαν μου· καὶ ἐμοῦ γὰρ σιωπῶντος, σὺ
D Κύριε, γινώσκεις τὰ πάντα, καὶ οὐδὲν κρυπτὸν ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου. Ἀλλ' ἐπειδὴ σὺ εἶπας, Κύριε, διὰ τοῦ Προφήτου· λέγε πρῶτος σὺ τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς. Ἡμάρτηκα, Κύριε, ἡμάρτηκα, καὶ οὐκ εἰμὶ ἄξιος ἀτενίσαι καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ πλήθους τῶν ἀδικιῶν μου· ὅτι διὰ μικρὰν ἡδονὴν, τοῦ πυρὸς αἰωνίου κατεφρόνησα, καὶ τῆς βασιλείας σου οὐκ ἀντεποιησάμην. Τί οὖν ποιήσω ἐγὼ ὁ ἄ-
E θλιος τῶν ἀνθρώπων; κλαύσω ἐμαυτὸν ἡμέρας καὶ νυκτὸς ὡς ἔστι καιρὸς δεχθῆναι τὰ δάκρυα. Χάρισαί μοι, Κύριε, δάκρυα κατανύξεως, ὁ μόνος ἀγαθὸς καὶ ἐλεήμων, ὅπως ἐν αὐτοῖς ἱκετεύσω καθαρισθῆναί μου τὸν ῥύπον τῆς καρδίας. Οἴμοι, τί ποιήσω; τὴν γέενναν τοῦ πυρὸς καὶ τὸ σκότος τὸ ἐξώτερον, ἔνθα ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Οἴμοι τί ποιήσω; τὸν τάρταρον, καὶ
F τὴν ἀτελεύτητον βάσανον· τὸν ἰοβόλον, καὶ ἀκοίμητον σκώληκα· οἴμοι τί ποιήσω; τὴν ἀπειλὴν τῶν ἀγγέλων τῶν ἐπὶ τῶν κολάσεων, ὅτι φοβεροὶ καὶ ἀνελεήμονές εἰσι. Τίς δώῃ τῇ κεφαλῇ μου ὕδωρ καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων, καὶ καθίσας ἔκλαυσα νυκτὸς καὶ ἡμέρας, ἵνα Θεὸν δυσωπήσω ὃν παρώργισα; Ἥμαρτες, ψυχή μου;

μετα-

A mini; cogitatione autem & animo plorantes atque gementes, Deumque exorantes, ut ab omni ſpecie mala nos ſervet: ne cœlorum regno privemur, boniſque quæ præparavit iis, qui complacuerunt ei. Luctus ædificat, & cuſtodit. Luctus animam lacrymis abſtergit, mundamque eam reddit. Luctus temperantiam gignit, voluptates excindit, & virtutes perficit. Quid Matth. 5.
plura? Luctus a Deo prædicatur beatus, Luc. 6.
B & ab Angelis conſolationem accipit. Unde & quidam ex Diſcipulis Domini dixit: Jacob. 4.
*Riſus veſter in luctum convertetur, & gaudium in mœrorem. Humiliamini igitur ſub potenti manu Domini, & exaltabit vos.* Sed quid ego peccator faciam, qui nec lugeo, nec defleo meipſum cum compunctione? Dico enim, & non facio. Væ mihi, quam negligenter me gero! væ mihi, quam parvi pendo ſalutem meam! væ mihi, quoniam
C ſcienter pecco. Scio, cum male facio; nec tamen a malo declino. Væ mihi, quia inexcuſabilis ſum. Verbis quidem inter eos, Matth. 25.
qui ad dexteram futuri ſunt; re autem inter eos numeror, qui ad ſiniſtram ſtatuentur. Tibi, Domine, ſoli bono, injuriarumque immemori confiteor peccatum meum. Etenim me tacente, tu omnia noſti, Domine, nihilque occultum eſt a facie oculorum tuorum. Sed quoniam tu per Pro-
D phetam dixiſti, Domine: *Dic tu primum peccata tua, ut juſtificeris.* Peccavi, Iſai. 43.
Domine, peccavi, & non ſum dignus reſpicere ac contemplari altitudinem cœli præ multitudine iniquitatum mearum. Quia ob modicam voluptatem pro nihilo ignem æternum reputavi, regnumque tuum aſſequi non ſum conatus. Quid igitur infeliciſſimus ego mortalium faciam? Plangam meipſum diu noctuque, donec tempus adhuc ſuppetit,
E quo lacrymæ ſuſcipiantur. Largire mihi, Domine, lacrymas compunctionis, qui ſolus bonus es, & miſericors, ut iis tibi ſupplicem, ut maculæ cordis mei emundentur. Væ mihi, quid agam? Quo pacto gehennam ignis, ac tenebras exteriores, ubi fletus eſt & ſtridor dentium, effugiam? Væ mihi, quid faciam? Quomodo Tartarum, ſempiternumque ſupplicium, & vermem venenum ejaculentem ſemperque vigilantem eva-
F dere potero? Væ mihi, quid faciam? Quomodo comminationes malorum, qui ſuppliciis præſunt, angelorum ſubterfugiam? quoniam horrendi ſunt, & abſque miſericordia. Quis dabit capiti meo aquam, Jerem. 9.
& oculis meis fontem lacrymarum, ut ſedens fleam noctu diuque, Deumque, quem ad iram provocavi, placatum reddam? Peccaſti, o anima mea? pœnitentiam age.

Nam

http://dl.ub.uni-freiburg.de/diglit/ephraem1732-1/0503
© Universitätsbibliothek Freiburg
gefördert durch Baden-Württemberg